www.tezaurliturgic.ro

# ΟΚΤΩΒΡΙΟΥ ΚΗ΄
# ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΤΕΣΣΑΡΩΝ ΝΕΟΜΑΡΤΥΡΩΝ ΑΓΓΕΛΗ, ΜΑΝΟΥΗΛ, ΓΕΩΡΓΙΟΥ ΚΑΙ ΝΙΚΟΛΑΟΥ ΤΩΝ ΕΝ ΡΕΘΥΜΝῌ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ*.

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια δευτεροῦντες τὸ α΄.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δεῦτε φιλομάρτυρες, καὶ τῶν Κρητῶν ἅπαν σύστημα, τοὺς κλεινοὺς νεομάρτυρας, συμφώνως τιμήσωμεν, Ἀγγελῆν τὸν θεῖον, Γεώργιον ἅμα, Νικόλαον καὶ Μανουήλ, τοὺς ἐν Ῥεθύμνῃ στεῤῥῶς ἀθλήσαντας, αὐτῶν τὴν θείαν ἄθλησιν, ᾀσματικῶς ἑορτάζοντες, ὡς ἂν τούτων δεήσεσι, πάσης βλάβης ῥυσθείημεν.

Πίστιν τὴν ἀμώμητον, ὡς θησαυρὸν πολυτίμητον, ἐν καρδίᾳ φυλάττοντες, Χριστὸν ἐκηρύξατε, ὁμοφώνῳ γνώμῃ, μάρτυρες Κυρίου, ἐπὶ ἀπίστων ἀνδρικῶς, καὶ ὑπὲρ ταύτης στεῤῥῶς ἠθλήσατε, Γεώργιε μακάριε, καὶ Ἀγγελῆ καὶ Νικόλαε, Μανουήλ τε θεόληπτε, τῶν Ἀγγέλων συνόμιλοι.

Μάρτυρες τετράριθμοι, Κρήτης βλαστοὶ εὐθαλέστατοι, καὶ Ῥεθύμνης καυχήματα, τοὺς πόθῳ τὴν ἄθλησιν, ὑμῶν εὐφημοῦντας, ῥύσασθε κινδύνων, καὶ συμφορῶν παντοδαπῶν, καὶ τῶν πταισμάτων αἰτεῖσθε ἄφεσιν, ἡμῖν θεῖε Γεώργιε καὶ Ἀγγελῆ καὶ Νικόλαε, Μανουὴλ παναοίδιμε, ὡς ἡμῶν ἀντιλήπτορες.

Δόξα Πατρί. Ἦχος β΄.

Μαρτυρικὴν ἐπιδειξάμενοι ἔνστασιν, ἐν συμφωνίᾳ ψυχῆς, ὑπὲρ Χριστοῦ νομίμως ἠθλήσατε, Νεομάρτυρες ἔνδοξοι· καὶ τὴν πλάνην αἰσχύναντες, μαρτυρικῶν ἐπάθλων ἠξιώθητε, παρὰ τοῦ Ἀθλοθέτου Σωτῆρος. Ἀλλ᾽ ὦ Ἀγγελῆ καὶ Γεώργιε, καὶ Μανουὴλ καὶ Νικόλαε, τῷ ἀδύτῳ φωτὶ ὁμιλοῦντες, διὰ παντὸς πρεσβεύετε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

---

* Ἡ Ἀκολουθία τῶν Ἁγίων Τεσσάρων Νεομαρτύρων τῶν ἐν Ῥεθύμνῃ, ἐποιήθη ὑπὸ τοῦ Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, κατὰ παραγγελίαν τοῦ Ἐκκλησιαστικοῦ Συμβουλίου τοῦ ἱεροῦ Ναοῦ Προφήτου Ἠλιοὺ Καστέλλας Πειραιῶς, τὸ ἔτος 1988. Ἐδημοσιεύθη ὑπὸ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Ῥεθύμνης καὶ Αὐλοποτάμου κ. ΑΝΘΙΜΟΥ ἐν τῷ ὑπ᾽ αὐτοῦ ἐκδιδόμενον περιοδικὸν *«Νέα Χριστιανικὴ Κρήτη»*, περ. Β΄, τεῦχ. 18, Ῥέθυμνο 1998, ἐξ οὗ καὶ καταχωρεῖται ἐνταῦθα. Προτροπῇ τοῦ ἰδίου Σεβασμιωτάτου Μητροπολίτου συνετάχθη ὑπὸ τοῦ Ἱερομονάχου Κυρίλλου Κογεράκη β΄ Κανών, ὅστις καὶ προσετέθη εἰς τὴν παροῦσαν ἔκδοσιν.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὅμιλος ἱερός, ἀθλήσαντες νομίμως, ἐν τοῖς ἐσχάτοις χρόνοις, ἐδείχθητε τοῖς πᾶσι, τέσσαρες Νεομάρτυρες.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις...

Χαίροις ὦ Ἀγγελῆ, ὁμοῦ σὺν Γεωργίῳ καὶ Μανουὴλ τῷ θείῳ, Νικόλαε παμμάκαρ, Μαρτύρων ἰσοστάσιοι.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Πάντας τοὺς τῷ ναῷ, ἡμῶν συνερχομένους, ῥύσασθε πάσης βλάβης, ὑμῶν τῇ προστασίᾳ, τέσσαρες Νεομάρτυρες.

Δόξα Πατρί. Τριαδικόν.

Δύναμιν ὦ Τριάς, ἐκ σοῦ πιστῶς λαβοῦσα, ἐνήθλησεν ἀνδρείως, ἐν πόλει τῆς Ῥεθύμνης, τετρὰς ἡ τῶν Μαρτύρων σου.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε ἡ τὸν Χριστόν, ἀφράστως τετοκυῖα, Παρθένε Θεοτόκε, εἰς κόσμου σωτηρίαν· χαῖρε ἡμῶν προσφύγιον.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον, ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Τετράριθμοι μάρτυρες Χριστοῦ, Ἀγγελῆ, Γεώργιε, καὶ Μανουὴλ καὶ Νικόλαε, πίστιν τὴν ἄμωμον, ὡς ἄϋλον φλόγα, ἐν καρδίᾳ φέροντες, ἀνδρείως ὑπὲρ ταύτης ἠθλήσατε, ἐσχάτοις ἔτεσι, καὶ τῶν πάλαι ἰσοστάσιοι, Ἀθλοφόρων ὤφθητε μακάριοι.

Ἐν γνώμῃ μιᾷ ὑπὲρ Χριστοῦ καρτερῶς ἠθλήσατε, ὡς ἀληθῶς Νεομάρτυρες, καὶ κατῃσχύνατε, πλάνης τὴν ἀπάτην, πόνοις τῆς ἀθλήσεως· διὸ παρὰ Κυρίου εἰλήφατε, δόξης τὸν στέφανον, καὶ πηγάζετε ἑκάστοτε, ἡμῖν πᾶσιν ἰαμάτων χάριτας.

Ἀνδρείᾳ ψυχῆς τὴν ἐκτομήν, ὑποστάντες ἅγιοι, ὡς στρατιῶται ἀήττητοι, τοῦ Παντοκράτορος, ῥείθροις τῶν αἱμάτων, πᾶσαν κατηρδεύσατε, Χριστοῦ τὴν Ἐκκλησίαν γεραίρουσαν, ὑμῶν τὴν ἄθλησιν, Ἀγγελῆ θεῖε Νικόλαε, Μανουήλ τε, ἅμα καὶ Γεώργιε.

Προσόμοια ἕτερα. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῷ συνδέσμῳ τῆς πίστεως, καὶ ἀγάπῃ τῇ κρείττονι εὐσεβῶς συνδούμενοι παναοίδιμοι, μαρτυρικῶς ἠγωνίσασθε, ἐσχάτοις ἐν ἔτεσιν, Ἀγγελῆ καὶ Μανουήλ, καὶ Γεώργιε ἔνδοξε, καὶ Νικόλαε· διὰ τοῦτο ἐδέξασθε θεόθεν, ἀφθαρσίας τοὺς στεφάνους, ὡς τοῦ Χριστοῦ Νεομάρτυρες.

Ἀπτοήτῳ φρονήματι, τὴν εὐσέβειαν ἔνδοξοι, τοῖς ἀπίστοις χαίροντες ἐκηρύξατε, τὴν τῶν τυράννων ὠμότητα, μηδόλως πτοούμενοι, καὶ δεσμά τε καὶ εἱρκτήν, ἀνδρικῶς ὑπομείναντες, ἠριθμήθητε, ἐκτμηθέντες τῷ ξίφει τῶν Μαρτύρων, ταῖς χορείαις Ἀθλοφόροι, ὡς θαυμαστοὶ Νεομάρτυρες.

Ὡς ἀστέρες νεόφωτοι, ἐκ τῆς Λάμπης ἀνέτειλαν, Ἀγγελῆς, Γεώργιος καὶ Νικόλαος, καὶ Μανουὴλ ἐν Ῥεθύμνῃ δέ, νομίμως ἀθλήσαντες, καταυγάζουσιν αὐγαῖς, τῆς αὐτῶν θείας χάριτος, Κρήτην ἅπασαν, εὐφημοῦσαν αὐτῶν τὰς ἀριστείας, καὶ πιστῶς ἀσπαζομένην, αὐτῶν τὰ τίμια λείψανα.

Δόξα Πατρί. Ἦχος πλ. β'.

Σήμερον ὑπὲρ ἡλίου αὐγὰς ἐξέλαμψεν, ἡ τῶν τεσσάρων νεομαρτύρων μνήμη, Ἀγγελῆ καὶ Μανουήλ, Γεωργίου καὶ Νικολάου, τὴν Ἐκκλησίαν λαμπρύνουσα· ὡς ἀστέρας γὰρ νεοφανεῖς, τούτους προβάλλεται, ἀθλητικαῖς ἀκτῖσι, πυρσεύοντας τοὺς βοῶντας· χαίρετε νέοι τοῦ Χριστοῦ ὁπλῖται, οἱ τοῖς ὅπλοις τῆς πίστεως, αἰσθητοὺς καὶ νοητοὺς ἐχθροὺς καταπαλαίσαντες· χαίρετε τῶν πάλαι Μαρτύρων ἰσότιμοι, ὡς αὐτῶν ζηλωταί· χαίρετε Μελάμπων θεῖοι βλαστοί, Ῥεθύμνης δόξα, καὶ πάσης Κρήτης ὡραΐσματα. Πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.
(Κεφ. μγ' 9 - 14).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. γ' 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. ε' 5-15, στ' 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α'.

Οἱ νέοι τοῦ Σωτῆρος ἀθληταί, οἱ τῇ πίστει τῷ Χριστῷ στρατευσάμενοι, Ἀγγελῆς καὶ Μανουήλ, Γεώργιος καὶ Νικόλαος, ἀθλητικῶς ἀριστεύσαντες, συγκαλοῦσι πάντας πρὸς αἴνεσιν, τῆς αὐτῶν ἀθλήσεως· διὸ καὶ Κρήτη ἡ μεγαλόνησος ἐν αὐτοῖς ἀγαλλιᾶται, καὶ ἐξαιρέτως ἡ τῆς Ῥεθύμνης πόλις, ἡ τὴν ἀνδρείαν αὐτῶν κατιδοῦσα, καὶ τὸ αἷμα δεξαμένη, χαίρει τῷ πνεύματι αὐτοὺς μακαρίζουσα· Ἀλλ' ὦ τετρακτὺς ὑπέρτιμε, τῶν κλεινῶν Νεομαρτύρων, τῇ Ἁγίᾳ Τριάδι πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Τῶν πάλαι Μαρτύρων τοῖς ἴχνεσιν, ἀκλινῶς ἑπόμενοι, τὴν ὁμολογίαν τῆς πίστεως, εὐθαρσῶς

www.tezaurliturgic.ro



ὡμολογήσατε, ἐπὶ δυσσεβῶν καὶ ἀπίστων, καλλίνικοι Νεομάρτυρες· τῶν γὰρ φθαρτῶν ὑπεραρθέντες, οὐδαμῶς ἐπτοήθητε, τῶν τυράννων τὰς ἀπειλάς, οὐδὲ τιμωριῶν τὰς ἐπιφοράς· καὶ καλῶς τὸν ἀγῶνα τελέσαντες, ἀγγελικαῖς συνήφθητε τάξεσιν, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύοντες.

Ἦχος γ΄.

Τὴν ἀνδρείαν τῆς πίστεως περιζωσάμενοι, ἐν ἀσθενείᾳ φύσεως, ἅγιοι Νεομάρτυρες, τὸν ἰσχυρὸν ἐν κακίᾳ, κατετροπώσασθε δράκοντα· τὴν γὰρ καλὴν παρακαταθήκην, ὥς φησιν ὁ Παῦλος, ἄσυλον ἐν τῇ ψυχῇ φυλάττοντες, ὑπὲρ αὐτῆς προθύμως ἠθλήσατε, ἑαυτοὺς ἀπαρνησάμενοι. Καὶ νῦν ἀθλητικαῖς συνόντες χορείαις, Ἀγγελῆ καὶ Γεώργιε, Μανουὴλ καὶ Νικόλαε, σὺν αὐτοῖς πρεσβεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄.

Ἐν ἁπλότητι ψυχῆς, καὶ συμφωνίᾳ γνώμης, τοῦ μαρτυρίου τὸν ἀγῶνα ὑπήλθετε, Νεομάρτυρες μακάριοι· καὶ ἐν λόγοις ἄτρεπτοι φανέντες, καὶ ἐν ἄθλοις ἀήττητοι, τῆς δυσωνύμου πλάνης, τὴν ἰσχὺν ἐθριαμβεύσατε· καὶ τὰς κεφαλὰς τμηθέντες, τελεώτερον ἡνώθητε, τῇ κεφαλῇ τῶν ἁπάντων, Χριστῷ τῷ Θεῷ. Αὐτῷ πρεσβεύσατε, ῥύεσθαι πάσης βλάβης καὶ θλίψεως, τοὺς ἑορτάζοντας ὑμῶν τὴν πανήγυριν.

Δόξα Πατρί. Ἦχος ὁ αὐτός.

Τὴν τῶν Μαρτύρων τετράριθμον χορείαν, ὡς νεοπαγεῖς τῆς Ἐκκλησίας βάσεις, πᾶς ὁ τοῦ Θεοῦ περιούσιος λαός, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν· Ἀγγελῆς γὰρ καὶ Γεώργιος, Μανουὴλ καὶ Νικόλαος, ὁμοφρόνως ἀγωνισάμενοι, τὴν ἁγιόφθογγον ῥῆσιν, ἐπλήρωσαν τὴν λέγουσαν· Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας· ᾧ καὶ προσαχθέντες ὡς θύματα τέλεια, καὶ προσφοραὶ λογικαί, τὸν καρπὸν τῆς ζωῆς ἐδρέψαντο, ἐν μεθέξει θεούμενοι, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν Ἀθλητῶν ἡ τετράς· τῆς νήσου Κρήτης ἱερὰ καλλωπίσματα, Ῥεθύμνης κλέος καὶ δόξα, καὶ τῶν Μαρτύρων Χριστοῦ, μιμηταὶ ἐν πᾶσι καὶ ἐφάμιλλοι· οἱ πίστιν κηρύξαντες, τοῦ Χριστοῦ τὴν ἀμώμητον, γνώμῃ τελείᾳ, καὶ γενναίῳ φρονήματι, καὶ αἰσχύναντες, ἀσεβῶν τὰ βουλεύματα· μάρτυρες ἀεισέβαστοι, Γεώργιε ἔνδοξε, καὶ Ἀγγελῆ θεομάκαρ, καὶ Μανουὴλ καὶ Νικόλαε· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεός...

Χαίροις τῶν Ἀθλητῶν ἡ τετράς· οἱ παριδόντες τὰ τοῦ κόσμου ὡς σκύβαλα, καὶ γνώμῃ τελειοτάτῃ καὶ ἐν φρονήσει πολλῇ, ἐν ὑστέροις χρόνοις ἐναθλήσαντες, παμμάκαρ Γεώργιε, Μανουὴλ καὶ Νικόλαε, καὶ ὁ θεόφρων, Ἀγγελῆς καὶ ἀήττητος, οἱ τῆς πίστεως, ἀῤῥαγέστατοι πρόβολοι· ἄνθη τὰ εὐωδέστατα, τὰ πνέοντα ἅπασι, τὴν μυστικὴν εὐωδίαν, τῆς ἀληθοῦς ἡμῶν πίστεως· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Χαίροις τῶν Ἀθλητῶν ἡ τετράς· οἱ τῆς Τριάδος τῆς Ἁγίας δεχόμενοι, ἐλλάμψεις τὰς ὑπὲρ λόγον, ὡς Ἀθλοφόροι Χριστοῦ, καὶ παθῶν τὸν ζόφον ἀπελαύνοντες· οἱ νέοι τὴν ἄθλησιν, καὶ στεῤῥοὶ τοῖς παλαίσμασιν, οἱ τῶν θαυμάτων, δωρεὰς ἀναβλύζοντες, καὶ αἰτούμενοι, ἡμῖν χάριν καὶ ἔλεος, πᾶσι τοῖς καταφεύγουσιν, ὑμῖν μετὰ πίστεως, καὶ τῇ σορῷ τῶν λειψάνων, πανευλαβῶς προσπελάζουσιν, ἐξ ἧς ἀναβλύζει, ἰαμάτων θεῖα ῥεῖθρα, καὶ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Τῶν Μαρτύρων τοῦ Χριστοῦ, ὑπελθόντες τὸ στάδιον, τὰς παρατάξεις τοῦ ἐχθροῦ καθείλετε, ἐν ἰσχύϊ θείᾳ, Νεομάρτυρες μακάριοι· ὅλον γὰρ τὸν νοῦν, τῷ Χριστῷ ἀναθέμενοι, τῆς εὐσεβοῦς ὁμολογίας τὴν δύναμιν, πᾶσιν ἐδείξατε, ἀθλητικαῖς ἐνστάσεσι. Καὶ νῦν τῶν ἄθλων καρπούμενοι, σὺν Μάρτυσι τὰ ἔπαθλα, αἰτεῖτε ἡμῖν τὸ θεῖον ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

www.tezaurliturgic.ro



Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.
Μελετίου Κρήτης.

Τὴν πίστιν σεβόμενοι, τὴν ἀληθῆ εὐσεβῶς, Χριστὸν ἐκηρύξατε, ἐπὶ ἀπίστων στεῤῥῶς, τετράριθμοι Μάρτυρες· ξίφεσι τοὺς αὐχένας, ἀπετμήθητε πόθῳ· ὅθεν τοῖς τῶν Μαρτύρων, ἠριθμήθητε δήμοις. Καὶ νῦν ταῖς ἱκεσίαις ὑμῶν, ῥύσασθε κινδύνων ἡμᾶς.

Ἕτερον. Ἦχος δ'.
Καλλινίκου Ρεθύμνης.

Τῆς Κρήτης γεννήματα, καὶ Λάμπης θρέμματα, τοὺς τετραρίθμους Νεομάρτυρας ἀνευφημήσωμεν, Γεώργιον, Ἀγγελῆν, Μανουὴλ καὶ Νικόλαον. Οὗτοι γὰρ διὰ πίστιν, τοῦ Κυρίου σφαγέντες, τὸ αἷμα αὐτῶν ἐθελουσίως, ἐν τῇ Ρεθύμνῃ ἐξέχεαν· διὸ καὶ παῤῥησίαν ἔχοντες πρὸς Χριστόν, πρεσβεύουσιν ἀεί, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Τῶν ἁγίων μαρτύρων, τὴν τετράδα τιμήσωμεν, τοὺς ὑπὲρ Χριστοῦ τοῦ Σωτῆρος, ὁμοφρόνως ἀθλήσαντας, Γεώργιον ὁμοῦ καὶ Ἀγγελῆν, Νικόλαον καὶ θεῖον Μανουήλ· θείαν χάριν γὰρ αἰτοῦνται πᾶσιν ἡμῖν, τοῖς εὐλαβῶς κραυγάζουσι· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι δι' ὑμῶν, πᾶσιν ἰάματα.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου, σοὶ Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

Ἀπόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.
Ἦχος α'. Τὸν τάφον σου.

Τετράριθμος χορός, τῶν Μαρτύρων ὑμνείσθω, ὡς νέοι Ἀθληταί, τοῦ Σωτῆρος τῶν ὅλων, Νικόλαος Γεώργιος, Ἀγγελῆς Μανουὴλ ὁμοῦ· οὗτοι ἤθλησαν, ὑπὲρ Χριστοῦ γὰρ συμφώνως, καὶ πρεσβεύουσιν, ὑπὲρ ἡμῶν τῶν τιμώντων, αὐτῶν τὰ παλαίσματα.

Θεοτοκίον.

Τῶν πάντων Ποιητήν, καὶ Θεὸν καὶ Δεσπότην, ἐκύησας Ἁγνή, ὑπὲρ νοῦν τε καὶ λόγον, ἡμᾶς ἀνακαλούμενον, πρὸς ζωὴν τὴν αἰώνιον, καὶ δοξάσαντα, τοὺς ἑαυτοῦ Ἀθλοφόρους· ὅθεν Δέσποινα, ὡς ἀπαρχὴν σωτηρίας, ἀπαύστως ὑμνοῦμέν σε.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.
Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἡ ἁγία ξυνωρίς, τῶν αὐταδέλφων τῶν σεπτῶν, Ἀγγελῆς καὶ Μανουήλ, συνηγωνίσαντο στεῤῥῶς, σὺν Νικολάῳ ὁμοῦ καὶ Γεωργίῳ, καὶ εἷλον τοῦ ἐχθροῦ, πᾶσαν τὴν δύναμιν, κηρύξαντες Χριστοῦ, τὸ μέγα ὄνομα, καὶ ἀφθαρσίας λαβόντες τὸν στέφανον, ὑπὲρ ἡμῶν ἱκετεύουσι, τῶν ἐκτελούντων, αὐτῶν τὴν μνήμην, καὶ προσκυνούντων τὰ λείψανα.

Θεοτοκίον.

Ἡ τεκοῦσα τὸν Χριστόν, εἰς σωτηρίαν τῶν βροτῶν, τὸν ῥυσάμενον ἡμᾶς ἐκ τῆς κατάρας τοῦ Ἀδάμ, θεοχαρίτωτε Δέσποινα Θεοτόκε, λύτρωσαι ἡμᾶς, παθῶν τοῦ χείρονος, καὶ αἴτει ἱλασμόν, ἡμῖν καὶ ἔλεος· καὶ γὰρ πολλὴν παῤῥησίαν κέκτησαι, πρὸς τὸν Υἱόν σου καὶ Κύριον· ἀλλ' ὦ Παρθένε, πλήρου ἀπαύστως, τὰς ἱκεσίας τῶν δούλων σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Εὐσεβείας τὴν φλόγα ἐν τῇ ψυχῇ, ὡς λαμπάδα πλουτοῦντες ἀειλαμπῆ, αὐτῆς τὴν λαμπρότητα, ἐμφανῆ ἐποιήσατε, λαμπρῶς ὁμολογήσαντες, τὴν πίστιν τὴν ἔνθεον, ἐπὶ τῶν δυσσεβούντων, κλεινοὶ Νεομάρτυρες· ὅθεν καὶ Μαρτύρων, ὑπελθόντες τοὺς ἄθλους, ἀξίως ἐδοξάσθητε, στρατιῶται ὡς ἄριστοι, τοῦ τῶν ὅλων Δεσπόζοντος, πρεσβεύοντες αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, ὑμῶν τὴν πανήγυριν.

Θεοτοκίον.

Τὸ πυρίμορφον ὄχημα τοῦ Θεοῦ, τὴν καθέδραν τοῦ πάντων Δημιουργοῦ, τὸν θρόνον τὸν πάγχρυσον, τοῦ Σωτῆρος ὑμνήσωμεν, τὴν μόνην Θεοτόκον, καὶ πάναγνον Δέσποιναν, τὴν φέρουσαν ἐν

www.tezaurliturgic.ro



κόλποις, Θεὸν ὥσπερ νήπιον· αὕτη γὰρ τοῦ κόσμου, σωτηρία τυγχάνει, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, ῥυομένη τοὺς κράζοντας· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, Θεομῆτορ μόνη Ἀειπάρθενε, τοῦ διδόναι πταισμάτων, ἡμῖν ἀπολύτρωσιν.

Εἶτα· οἱ Ἀναβαθμοί, ἤτοι, τὸ α' Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον, ζήτει τῇ κγ' Ἀπριλίου.

Ὁ Ν'. Δόξα Πατρί. Ταῖς τῶν Ἀθλοφόρων... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.....

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Μαρτυρικοῖς ἀριστεύσαντες πόνοις, τῶν κατ' ἀξίαν ἐπάθλων ἐτύχετε, παρὰ Χριστοῦ τοῦ Σωτῆρος, τετράριθμοι Νεομάρτυρες· ὑπὲρ αὐτοῦ γὰρ προθύμως ἐτύθητε, καὶ νικηφόροι πρὸς τὰς ἄνω σκηνώσεις ἀνήλθετε, ἀνεκλαλήτου δόξης, καὶ χαρᾶς μετέχοντες. Ἀλλ' ὦ Ἀγγελῆ καὶ Μανουὴλ καὶ Γεώργιε σὺν Νικολάῳ, μὴ παύσησθε πρεσβεύοντες, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου καὶ οἱ Κανόνες τῶν Ἁγίων. Κανὼν πρῶτος τῶν Ἁγίων, οὗ ἡ Ἀκροστιχίς· «Τετράδα μέλπω Νεομαρτύρων. Γερασίμου».

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Τριὰς ὁμοούσιε, Πάτερ Υἱὲ Πνεῦμα Ἅγιον, τὸν νοῦν μου καταύγασον, ὅπως ὑμνήσω φαιδρῶς, τῶν τεσσάρων σου, κλεινῶν Νεομαρτύρων, τὴν μνήμην Φιλάνθρωπε, καὶ τὰ παλαίσματα.

Ἐσχάτοις ἐν ἔτεσιν, ὥσπερ ἀστέρες νεόφωτοι, διὰ τῆς ἀθλήσεως, ἡμῖν ὠράθητε, Νεομάρτυρες, ἀκτῖσιν εὐσεβείας, ἡμῶν τὴν διάνοιαν, καταπυρσεύοντες.

Τὴν πλάνην ᾐσχύνατε, ὁμολογίᾳ τῆς πίστεως, θεόφρον Γεώργιε, καὶ Ἀγγελῆ Μανουήλ, καὶ Νικόλαε, Κυρίῳ στρατευθέντες, ὑμῖν χορηγήσαντι, δύναμιν ἄνωθεν.

Θεοτοκίον.

Ῥημάτων δεήσεως, τῆς ταλαιπώρου καρδίας μου, ἐπάκουσον Δέσποινα, ὡς τοῦ ἐλέους πηγή, καὶ παράσχου μοι, μετάνοιαν γνησίαν, ὡς ἂν ἀποκρούσωμαι, ἐχθροῦ πᾶν βούλευμα.

Κανὼν δεύτερος τῶν Ἁγίων οὗ ἡ Ἀκροστιχίς· «Τετράδα μέλπω Νεομαρτύρων. Κυρίλλου».

Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Τὴν τῶν Μαρτύρων τετρακτὺν τὴν ἔνδοξον, τὴν ἐν Ῥεθύμνῃ στεῤῥῶς, ἐν ἐσχάτοις χρόνοις, δι' ἀγάπην ἔνθεον, μαχαίρᾳ ἐναθλήσασαν, δός μοι λόγον ὑμνῆσαι, ἐν ἐγκωμίοις φιλάνθρωπε, Λόγε τῷ Πατρὶ ὁμοούσιε.

Ἐν ἀνενδότῳ ἀνδρικῶς φρονήματι, πρὸ τῶν ἀπίστων ἐχθρῶν, κλῆσιν τὴν ἁγίαν, καθομολογήσαντες, βασάνους ὑπεμείνατε, καὶ εἱρκτῆς τὰς κακώσεις, καὶ διὰ ξίφους τὸν θάνατον, Μάρτυρες μηδὲν δειλιάσαντες.

Τῶν μιαρῶν Ἀγαρηνῶν τῷ βήματι, συμπαρεστῶτες λαμπρῶς, ἐν ἀγαλλιάσει, Μάρτυρες ἐκράζετε· Χριστὸν ἡμεῖς ἀκλόνητον, κεκτημένοι ἐλπίδα, κέρδος ἡγούμεθα μέγιστον, τὸν ἐπαπειλούμενον θάνατον.

Θεοτοκίον.

Ῥώμη τῆς θείας πρὸς Θεὸν πρεσβείας σου, ἐνίσχυσόν με Ἁγνή, ἵνα τῶν παγίδων, τοῦ ἐχθροῦ ῥυσθήσομαι· εἰς σὲ γὰρ τὴν ἐλπίδα μου, ἀναθέμενος πᾶσαν, μετ' εὐφροσύνης κραυγάζω σοι· χαίροις παντευλόγητε Δέσποινα.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Κανὼν πρῶτος. Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ἁγίων Μαρτύρων τοὺς ἀγῶνας, ζηλώσαντες νέοι ἀθληταί, ὡς ἀληθῶς ὠράθητε, Γεώργιε Νικόλαε, καὶ Ἀγγελῆ καὶ Μανουήλ, μιᾷ καρδίᾳ ἀθλήσαντες.

Δυνάμει τῇ θείᾳ τῆς ἀπάτης, τὸ ψεῦδος ἠλέγξατε σαφῶς, καὶ πόνοις τῆς ἀθλήσεως, τῆς ἀληθείας χαίροντες, τὴν χάριν ἐξεφήνατε, πανευκλεεῖς Νεομάρτυρες.

Ἀγάλλεται πόλις τῆς Ῥεθύμνης, ὑμνοῦσα τὴν ἄθλησιν ὑμῶν, καὶ πίστει περιπτύσσεται, τὰ λείψανα τὰ πάντιμα, Γεώργιε καὶ Ἀγγελῆ, καὶ Μανουὴλ καὶ Νικόλαε.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Μαρίαν τὴν μόνην Θεοτόκον, ὑμνήσωμεν πάντες εὐσεβῶς· Θεὸν γὰρ σωματώσασα, δι' ἄκραν ἀγαθότητα, ἐκ τῆς ἀρᾶς ἐῤῥύσατο, τῆς τοῦ Ἀδὰμ τὸ ἀνθρώπινον.

Κανὼν δεύτερος. Ὁ στερεώσας κατ' ἀρχάς.

Ἄνω πρὸς μόνον τὸν Θεόν, ὡς νουνεχεῖς κεκτημένοι, Χριστομάρτυρες τὴν ἔφεσιν πᾶσαν, τῶν δεινῶν Ἀγαρηνῶν, ὀλεθροτόκον ἔπαρσιν, ᾐσχύνατε εἰς τέλος, ἐν μαρτυρίῳ ἐμπρέψαντες.

Δοῦλοι ὡς γνήσιοι Χριστοῦ, οὐκ ἐδουλώθητε πλάνῃ, ἐναγεῖ τῶν μιαιφόνων τυράννων, ἀλλ' ἐλεύθεροι Θεῷ, τετράριθμοι ἐδείχθητε, τὴν τμῆσιν τοῦ αὐχένος, χαρμονικῶς ἐκλεξάμενοι.

Ἀνευφημείσθω Ἀγγελῆς, ὁ ἀγγελώνυμος μάρτυς, καὶ Γεώργιος ὁμοῦ κατὰ χρέος, σὺν τῷ θείῳ Μανουήλ, ὁ θαυμαστὸς Νικόλαος, οἱ στάσει μαρτυρίου, τρυφῆς χειμάῤῥους δεξάμενοι.

Θεοτοκίον.

Μῆτερ ἀμόλυντε Θεοῦ, εὐλογημένη Μαρία, μολυσμῶν τῶν σαρκικῶν καθαρόν με, ἵνα μέλπω καθαρῶς, τὸν ὑπὲρ φύσιν τόκον σου, δι' οὗ τῆς τυραννίδος, τοῦ διαβόλου ἐῤῥύσθημεν.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Κρητῶν ὡραΐσματα, καὶ Ὀρθοδόξων χαρά, Γεώργιε ὤφθητε, καὶ Ἀγγελῆ Μανουήλ, ὁμοῦ καὶ Νικόλαε· ὅθεν ὡς κεκτημένοι, πρὸς Χριστὸν παῤῥησίαν, πάντοτε δυσωπεῖτε, λύσιν δοῦναι πταισμάτων, τοῖς πίστει ἑορτάζουσι, τὴν μνήμην ὑμῶν Ἅγιοι.

Θεοτοκίον

Ἀφράστως κυήσασα, τὸν Βασιλέα Χριστόν, βασίλισσα πέφηνας, τοῦ οὐρανοῦ καὶ τῆς γῆς, πανύμνητε Δέσποινα. Ὅθεν τῆς οὐρανίου, βασιλείας τὰς πύλας, ἄνοιξον οἷα Μήτηρ, τοῦ Θεοῦ τῶν ἁπάντων, τοῖς πίστει μεγαλύνουσι, Παρθένε τὴν δόξαν σου.

Κανὼν πρῶτος. Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ἐπὶ βήματος ἀπίστων, ἀπτοήτῳ φρονήματι, καὶ ἐνθέῳ γλώσσῃ, Μάρτυρες τρανῶς ἐκηρύξατε, ὁμολογίαν τὴν θείαν καὶ σωτήριον, μὴ πτοούμενοι, ἐπιφορὰς τῶν κολάσεων.

Λαμπρυνόμενοι τῷ φέγγει, τῆς Χριστοῦ θείας πίστεως, τὸ τῆς δυσσεβείας, σκότος τὸ βαθὺ ἐβδελύξασθε, σὺν Ἀγγελῇ Μανουὴλ θεῖε Νικόλαε, καὶ Γεώργιε, θείᾳ δυνάμει ῥωννύμενοι.

Πρὸς ζωὴν τὴν μακαρίαν, ἐπειγόμενοι Ἅγιοι, ξίφει τὸν αὐχένα, ὅλῃ προθυμίᾳ ἐκλίνατε, καὶ πρὸς ἀθάνατον λῆξιν ἐχωρήσατε, ἀνακράζοντες· Δόξα Χριστὲ τῇ δυνάμει σου.

Θεοτοκίον.

Ὡς τεκοῦσαν ἀποῤῥήτως, τὸν Δεσπότην τῆς κτίσεως, καὶ μετὰ τὸν τόκον, ἄφθορον Ἁγνὴ διαμείνασαν, πᾶσα ἡ κτίσις ὑμνεῖ καὶ μεγαλύνει σε, πίστει κράζουσα· χαῖρε Παρθένε Πανάμωμε.

Κανὼν δεύτερος. Εἰσακήκοα Κύριε.

Ἐκτεμνόμενοι Μάρτυρες, κάρας διὰ ξίφους τὸν παναλάστορα, συνετρίψατε καὶ ὤφθητε, στεφανῖται Χριστοῦ ὡραιόμορφοι.

Λαμπρυνόμενοι Μάρτυρες, ταῖς φωτοχυσίαις φαιδρῶς τῆς χάριτος, τὰς βασάνους ὑπεμείνατε, ἀλλοτρίῳ καθάπερ ἐν σώματι.

Πανευχίᾳ τῇ ἄνωθεν, ἑαυτοὺς ἀνδρείως περιφραξάμενοι, τῆς κακίας τὴν παράταξιν, ἐνικήσατε πᾶσαν τετράριθμοι.

Θεοτοκίον.

Ὦ Μαρία πανάχραντε, ἔσο μοι προστάτις ἀεὶ καὶ σύμμαχος, τῇ ἁγίᾳ ἀντιλήψει σου, ἐν ταῖς ψυχολέθροις περιστάσεσι.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Κανὼν πρῶτος. Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Ναῷ ὑμῶν σπεύδοντες, τῷ θείῳ Νεομάρτυρες, μέλπομεν ὑμῶν τὰς ἀριστείας, καὶ προσκυνοῦντες τὰ θεῖα λείψανα, χάριν ἀπαντλοῦμεν ἐξ αὐτῶν, καὶ Χριστὸν δοξάζομεν, τὸν ὑμᾶς θαυμαστώσαντα.

Ἐν ἄθλοις στεῤῥότατοι, καὶ ἀπειλαῖς ἀήττητοι, ὤφθητε τῇ πίστει τοῦ Σωτῆρος· ὅθεν ὑπέστητε, καὶ εἱρκτὴν καὶ δεσμά, καὶ πρὸς ἀτελεύτητον ζωήν, χαίροντες ἐδράμετε, θαυμαστοὶ Νεομάρτυρες.

Οἱ Ἅγιοι μάρτυρες, ἀδελφικῶς συνδούμενοι, πίστει καὶ νοὸς ὁμοφροσύνῃ, ὁ Ἀγγελῆς τε καὶ ὁ Νικόλαος, σὺν τῷ Γεωργίῳ τῷ στεῤῥῷ, Μα-

www.tezaurliturgic.ro



νουὴλ ὁ ἔνδοξος, μιᾷ γνώμῃ συνήθλησαν.

Θεοτοκίον.

Μὴ φλέξας τὴν μήτραν σου, ὁ πῦρ ὑπάρχων Κύριος, ᾤκησεν ἐν σοὶ ἀνερμηνεύτως, καὶ ἐκ σοῦ Κόρη, καθάπερ νήπιον, προῆλθε καὶ ἐῤῥύσατο φθορᾶς, διὰ μέγα ἔλεος, τὸν κατάκριτον ἄνθρωπον.

Κανὼν δεύτερος. Ὀρθρίζοντες βοῶμέν σοι.

Νικήσαντες τὸ ἄθεον φρύαγμα, τῶν δυναστῶν, Μελάμπων σεπτοὶ βλαστοί, ζωῆς τὸ στέφος ἐλάβετε.

Ἐδράμετε συμφώνως πρὸς στάδιον, ἀθλητικόν, μιμούμενοι τοῦ Χριστοῦ, τὸ πάθος Μάρτυρες τέσσαρες.

Ὁδεύσαντες πορείαν ἀκλόνητον, μαρτυρικῶς, εἰσήλθετε εἰς σκηνήν, ἀχειροποίητον Μάρτυρες.

Θεοτοκίον.

Μαρία τοῦ Κυρίου λοχεύτρια, σῶσον ἡμᾶς, εὐχαῖς σου ταῖς μητρικαῖς, ὥσπερ φιλεύσπλαγχνος.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ἀκαταπλήκτῳ φρονήματι, τομὴν τὴν τοῦ αὐχένος ὑπέστητε, μάρτυς Γεώργιε, καὶ Ἀγγελῆ καὶ Νικόλαε, καὶ Μανουὴλ καὶ θείας ζωῆς ἐτύχετε.

Ῥείθροις αἱμάτων ἠρδεύσατε, τὴν πόλιν τῆς Ῥεθύμνης μακάριοι· διὸ χορεύουσα, ὑμῶν γεραίρει τὴν ἄθλησιν, καὶ προσκυνεῖ τὰ λείψανα Νεομάρτυρες.

Τὰ τῶν Κρητῶν καλλωπίσματα, καὶ Λάμπης τὰ ὡραῖα βλαστήματα, τοὺς Νεομάρτυρας, σὺν Μανουὴλ τὸν Γεώργιον, καὶ Ἀγγελῆν ὑμνήσωμεν καὶ Νικόλαον.

Θεοτοκίον.

Ὑπερφυῶς ἐσωμάτωσας, τὸν πάντων Βασιλέα καὶ Κύριον, ἀνακαλούμενον, πρὸς τὴν ἀρχαίαν λαμπρότητα, Παρθένε Θεοτόκε, τοὺς σὲ δοξάζοντας.

Κανὼν δεύτερος. Τὴν δέησιν ἐκχεῶ.

Ἀπείραστοι προσβολαῖς τῶν βασάνων, καὶ ἀχείρωτοι αἰκίαις δειχθέντες, τοῖς ἐν νυκτὶ τῶν τῆς Ἄγαρ δουλείας, ὥσπερ λαμπτῆρες φαιδροὶ ἀνετείλατε, Μάρτυρες τέσσαρες Χριστοῦ, τῆς Ῥεθύμνης λαμπρὰ καλλωπίσματα.

Ῥωννύμενοι ξυνωρὶς τῶν Μαρτύρων, τοῦ Σταυροῦ τῇ παναλκίμῳ ἰσχύϊ, ἐν ἁρμονίᾳ Χριστοῦ τῆς ἀγάπης, Ἄγαρ ἐκγόνων τὴν πλάνην ἐλύσατε, καὶ προσετέθητε χορῷ, στεφηφόροι Μαρτύρων τῶν πρόπαλαι.

Τιμήσωμεν Μανουὴλ Γεώργιον, Ἀγγελῆ τε καὶ Νικόλαον ἅμα, τοὺς πρὸς Χριστὸν τετακότας τὸν πόθον, καὶ τῶν μενόντων ἀξίως φροντίσαντας, καὶ ἀνατρέψαντας ἐχθρῶν, τὰς δολίους βουλὰς δι᾽ ἀθλήσεως.

Θεοτοκίον.

Ὑπέραγνε Θεοτόκε Μαρία, ἡ σκηνὴ ἡ φωτοφόρος τοῦ Λόγου, ἐσκοτισμένον νυκτὶ τῶν παθῶν μου, τῆς χάριτός σου αὐγαῖς με καταύγασον, ἵνα ἐν πίστει ἀῤῥαγεῖ, μακαρίζω τὸν ἄῤῥητον τόκον σου.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοὺς ἐν Ῥεθύμνῃ διὰ πίστιν τὴν θείαν, ἐνηθληκότας ἐν ἐσχάτοις τοῖς χρόνοις, ὡς Ἀθλητὰς Κυρίου μακαρίσωμεν, Ἀγγελῆν Γεώργιον, καὶ Νικόλαον ἅμα, Μανουὴλ τὸν ἔνδοξον, πρὸς αὐτοὺς ἐκβοῶντες· χαῖρε τετρὰς Μαρτύρων τοῦ Χριστοῦ, πάσης τῆς Κρήτης ἀστέρες νεόφωτοι.

Ὁ Οἶκος.

Τετρακτὺν τὴν ἁγίαν τιμήσωμεν, τῶν μαρτύρων Χριστοῦ φιλομάρτυρες, τοὺς στεῤῥῶς ἐν Ρεθύμνῃ ἀθλήσαντας, διὰ πίστιν Χριστοῦ τὴν ἀμώμητον, Ἀγγελῆν καὶ Μανουήλ, Γεώργιον καὶ Νικόλαον· ὁμοφροσύνῃ γὰρ συνδούμενοι, τὸν τῆς εὐσεβείας θησαυρὸν ἄσυλον ἐν τῇ καρδίᾳ διεφύλαξαν, βίον πρακτικὸν γεωργοῦντες, καὶ Χριστῷ ἐν ταπεινώσει ἑπόμενοι· καὶ τῆς ἀληθείας τὸ φῶς, τοῖς ἐν σκότει τοῦ ψεύδους πορευομένοις κηρύξαντες, μαρτυρικὸν ὑπῆλθον στάδιον, καὶ ἀθλητικῶν ἐπάθλων καὶ βραβείων ἀξίως ἔτυχον, καὶ τῶν πάλαι Μαρτύρων ἰσότιμοι ἀνεδείχθησαν. Αὐτῶν οὖν τὴν μνήμην ἑορτάζοντες εἴπωμεν· χαῖρε τετρὰς Μαρτύρων τοῦ Χριστοῦ, πάσης τῆς Κρήτης ἀστέρες νεόφωτοι.

Μηνολόγιον.

Τῇ ΚΗ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν ἁγίων

www.tezaurliturgic.ro



ἐνδόξων τεσσάρων Νεομαρτύρων Ἀγγελῆ, Μανουήλ, Γεωργίου καὶ Νικολάου, τῶν ἐν Ῥεθύμνῃ τῆς Κρήτης μαρτυρησάντων ἐν ἔτει ͵αωκδ΄ (1824).

Στίχοι.

Τετρὰς στεῤῥῶς ἤθλησε Νεομαρτύρων
Καὶ δόξης ἠξίωται ὑπερκοσμίου.

Εἰκάδι ὀγδοάτῃ τετρακτὺν τάμον Ἀεθλοφόρων.

Συναξάριον.

Οὗτοι οἱ τοῦ Χριστοῦ Νεομάρτυρες, πατρίδα ἔσχον τὴν μεγαλόνησον καὶ ἑκατόμπολιν Κρήτην. Ἐγεννήθησαν ἐκ γονέων εὐσεβῶν, ἐν τῇ κώμῃ, ἧς ἡ κλῆσις Μέλαμπες, ἐν τῇ ἐπαρχίᾳ τοῦ Ἁγίου Βασιλείου. Καὶ οἱ μὲν Μανουὴλ καὶ Ἀγγελῆς ἦσαν αὐτάδελφοι, υἱοὶ Ἰωάννου τοὐπίκλην Ρετζέπη, καὶ ὁ Νικόλαος υἱὸς ἑτέρου Ἰωάννου Ρετζέπη. Καὶ εἰς μὲν τὸ ὁρώμενον ἐφαίνοντο καὶ ἐδόκουν Ὀθωμανοί, ὡς ἂν ἀποφεύγωσι τὰ δεινὰ τῆς τῶν κρατούντων Ἀγαρηνῶν δυναστείας, ἐν δὲ τῷ κρυπτῷ ἔζων βίον χριστιανικὸν πορευόμενοι ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ, ὡς ἦν δυνατόν. Πλεῖστοι τοιοῦτοι κρυπτοχριστιανοὶ ὑπῆρχον τότε ἐν τῇ Κρήτῃ.

Ἐν ἔτει ͵αωκα΄ (1821) οἱ ἐν τῇ νήσῳ Χριστιανοὶ ἦραν τὰς χεῖρας κατὰ τῶν κρατούντων ἀσεβῶν δυναστῶν, μεθ᾽ ὧν συνέμιξαν ἑαυτοὺς καὶ οὗτοι οἱ τέσσαρες Μάρτυρες, οἵτινες, ἀποτυχόντος τοῦ σκοποῦ, διῆγον πλέον ἐμφανῶς βίον χριστιανικόν. Γνωσθέντος τούτου τοῖς δυσσεβέσιν ἐν τῇ ἀποτίσει τῶν φόρων, συνελήφθησαν καὶ παρέστησαν τῷ βήματι τοῦ ἐξουσιαστοῦ· ᾧ παραστάντες ἀπτοήτῳ φρονήματι, ὡμολόγησαν εὐθαρσῶς ἐν ἑνὶ στόματι τὴν Χριστώνυμον κλῆσιν, κηρύξαντες τὸν Σωτῆρα Χριστὸν Θεὸν τοῦ σύμπαντος ἀληθινόν. Καὶ ποικίλως δοκιμασθέντες, καὶ ἀπειληθέντες, καὶ δεσμὰ καὶ φυλακὴν ὑποστάντες, ἐτμήθησαν χαίροντες καὶ ἀγαλλόμενοι τὰς κεφαλὰς τῇ κη΄ (28ῃ) τοῦ μηνὸς Ὀκτωβρίου, ἐν ἔτει ͵αωκδ΄ (1824), καὶ ἀπέλαβον τὸν ἀμαράντινον τῆς νίκης στέφανον ἐκ χειρὸς Κυρίου, συναριθμηθέντες τοῖς πάλαι ἁγίοις Ἀθληταῖς καὶ Μάρτυσι.

Τὰ τίμια αὐτῶν λείψανα παρέμειναν ἐπὶ τρεῖς ἡμέρας ἐν τῷ τόπῳ ἐῤῥιμένα, εἰς ἃ οὐράνιον φῶς ὡρᾶτο κατερχόμενον. Καὶ ἄραντες αὐτὰ ἐκεῖθεν εὐσεβεῖς τινες, μετήνεγκαν τῇ Μονῇ τοῦ Ἁγίου Γεωργίου, τῇ οὔσῃ ἐν τῷ χωρίῳ «Περιβόλια», ἔνθα ἐντίμως καὶ εὐλαβῶς ἐνεταφίασαν, τὸ δὲ αἷμα αὐτῶν καὶ τὰ ἱμάτια, λαβόντες εὐσεβεῖς Χριστιανοί, ἐποίουν δι᾽ αὐτῶν πάμπολλα θαύματα.

Παρεληλυθότων ἐνιαυτῶν τινων, ὁ ἐν Ῥεθύμνῃ καταστὰς Ἀρχιερεύς, οὗ ἡ κλῆσις Ἰωαννίκιος, ἀποστείλας, εὗρε καὶ ἀνεκόμισε τὰ ἅγια τῶν ἁγίων Νεομαρτύρων λείψανα, καὶ τὰς μὲν Κάρας καὶ μέρος αὐτῶν ἔφερε καὶ κατέθετο τῇ ἐν Ῥεθύμνῃ Ἐκκλησίᾳ, ἐξ ὧν μίαν Κάραν ἐδωρήσατο εἰς εὐσεβῆ Ρῶσον πλοίαρχον, ἣν μετήνεγκεν εἰς Ρωσίαν, τὰ δὲ λοιπὰ ἀπέστειλε τῇ τοῦ Ἁγίου Κωνσταντίνου Μονῇ, τῇ ἐπονομαζομένῃ τοῦ Ἀρκαδίου, ἅτινα καὶ διενεμήθησαν τοῖς Ὀρθοδόξοις Χριστιανοῖς, ἱερεῦσι καὶ λαϊκοῖς, πλεῖστα θαύματα ἐνεργοῦντα, καὶ πάσχοντας καὶ ἀσθενοῦντας θεραπεύοντα τοὺς μετὰ πίστεως προσιόντας καὶ αἰτοῦντας τὴν τῶν Ἁγίων Νεομαρτύρων ἀντίληψιν.

Μέρος τῶν λειψάνων μετεκομίσθη καὶ ἐν Πειραιεῖ, καὶ κατετέθη εἰς τὸν ἐν Καστέλλᾳ Ἱερὸν Ναὸν τοῦ Προφήτου Ἠλιού, οὗτινος τὸ δεξιὸν κλίτος καθιερώθη τοῖς ἁγίοις Νεομάρτυσιν. Ἡ ἐκ Κρήτης μετακομιδὴ ἐγένετο τῇ εὐλαβεῖ ἐνεργείᾳ τοῦ ἱερατικῶς προϊσταμένου τοῦ Ἱεροῦ Ναοῦ Πρωτοπρεσβυτέρου Ἐμμανουὴλ Ραπτάκη, Κρητός, τῇ εὐλογίᾳ καὶ ἐγκρίσει τοῦ Σεβασμιωτάτου Μητροπολίτου Πειραιῶς κ.κ. Καλλινίκου, τῇ δευτέρᾳ τοῦ μηνὸς Ἰουλίου, ἐν ἔτει, ͵αϠπη΄ (1998).

Ταῖς αὐτῶν πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ῥώμην ἄνωθεν, δεχόμενοι μακάριοι, ὡμολογήσατε, ἐπὶ ἀπίστων στεῤῥῶς, Χριστὸν τὸν Θεὸν ἡμῶν, πιστῶς κραυγάζοντες· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὡς αὐτάδελφοι, ὦ Ἀγγελῆ μακάριε, καὶ Μανουὴλ στεῤῥέ, ἐν συμφωνίᾳ ψυχῆς, νομίμως ἠθλήσατε, Χριστῷ κραυγάζοντες· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Νοῦν ἀλάστορα, Γεώργιε κατῄσχυνας, πόνοις ἀθλήσεως, σὺν Νικολάῳ ὁμοῦ, καὶ νίκης ἐδέξασθε, τὸ γέρας ψάλλοντες· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Γέρας εὕρατο, Παρθένε τῇ κυήσει σου, τὸ ὑπερκόσμιον, ἡ φύσις ἡ τῶν βροτῶν· Χριστὸν γὰρ προήγαγες, τὸν ἀνυψώσαντα, πρὸς οὐράνια, τοὺς εὐλαβῶς δοξάζοντας, τὸ μυστήριόν σου Κόρη.

Κανὼν δεύτερος. Παῖδες Ἑβραίων.

Ῥόδα καθάπερ πανευώδη, διεπνεύσατε ἐν χρόνοις τῆς δουλείας, εὐωδίαν Χριστοῦ, τμηθέντες τοὺς αὐχένας, τῷ ξίφει ὦ τετράριθμοι, κακουργίᾳ τῶν τυράννων.

Ὢ τετρακτὺς ἠγλαϊσμένη, τῶν Μαρτύρων ἡ θεόλεκτος προσθήκη! τοῖς τὰς κάρας ὑμῶν, πιστῶς ἀσπαζομένοις, ἀπαύστως πρυτανεύετε, ἀγαθὰς πλουσίως δόσεις.

www.tezaurliturgic.ro



Νύκτα τοῦ γένους τὴν ζοφώδη, ἐφωτίσατε τετράριθμοι ἐν Κρήτῃ, μαρτυρίου αὐγαῖς, ἐκλάμψαντες ἐνθέως· διὸ ὑμᾶς γεραίρομεν, ἐσαεὶ μετ' εὐφροσύνης.

Θεοτοκίον.

Κόσμου παντὸς ἀνώτερόν με, δεῖξον Δέσποινα, πανάχραντε Μαρία, καὶ Θεῷ με τῇ σῇ, οἰκείωσον πρεσβείᾳ, ἵνα ἀεὶ γεραίρω σε, ὡς προστάτιν μου βεβαίαν.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Κανὼν πρῶτος. Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Ἔχοντες θερμοὺς ὑμᾶς προστάτας, καὶ πρέσβεις πρὸς τὸν Σωτῆρα πίστει σπεύδομεν, ὑμῖν Νεομάρτυρες, καὶ τὰ θεῖα λείψανα, ὑμῶν περιπτυσσόμενοι, πᾶσαν ὠφέλειαν, καρπούμεθα ἐκ τούτων τιμῶντες, ὑμῶν τοὺς ἀγῶνας, καὶ τὴν ἁγίαν μνήμην.

Ῥεθύμνη καυχᾶται τῇ ἀθλήσει, ὑμῶν τῇ ἁγίᾳ Νεομάρτυρες, καὶ ἡ κώμη Μέλαμπες, ὑμᾶς ἡ βλαστήσασα, ὑμνεῖ ὑμῶν τὴν ἄθλησιν καὶ οἱ κατέχοντες, ὑμῶν ἐκ τῶν ἁγίων λειψάνων, ἀνυμνολογοῦσιν, ὑμῶν τὰς ἀριστείας.

Ἄθλησιν ἀθλήσαντες ἁγίαν, Γεώργιε Ἀγγελῆ τε καὶ Νικόλαε, Μανουὴλ μακάριε, τῶν πιστῶν τὸ φρόνημα, τῇ πίστει ἑδραιοτέρᾳ, ἐπανειργάσασθε· καὶ γὰρ ἐν τοῖς καιροῖς τοῖς ἐσχάτοις, ἡ ὁμολογία, ὑμῶν πάντας στηρίζει.

Θεοτοκίον.

Σάρκα προσλαβὼν ἐκ τοῦ ἀτρέπτως, ὁ πάντων δημιουργὸς δι' ἀγαθότητα, κόσμῳ πεφανέρωται, εἷς μὲν τὴν ὑπόστασιν, διπλοῦς δὲ τὴν ἐνέργειαν σῴζων πανάχραντε, τοὺς μέλποντας πιστῶς καὶ ὑμνοῦντας, τοῦ τόκου σου Κόρη, μυστήριον τὸ μέγα.

Κανὼν δεύτερος. Οἱ θεοῤῥήμονες Παῖδες.

Ὑμνολογίαις τιμῶμεν ὑμῶν τὰ ἆθλα, ἃ καὶ Ἀγγέλων οἱ δῆμοι, ὑπερθαυμάσαντες ἔκραζον· Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Ῥεραντισμένοι αἱμάτων ἁγίων λύθροις, ἐν τοῖς ὑψίστοις Κυρίῳ, μετ' εὐφροσύνης παρίστασθε, τοῖς ἐν κόσμῳ θαυμάτων, τὴν χάριν παρέχοντες.

Ἱερωτάτη χορεία τῶν Ἀθλοφόρων, ἐν τοῖς κινδύνοις φρουρεῖτε, καὶ ἀβλαβεῖς διασῴζετε, τοὺς τοῖς θείοις λειψάνοις, ὑμῶν καταφεύγοντας.

Θεοτοκίον.

Λελυτρωμένοι θανάτου τῷ τοκετῷ σου, εὐλογημένη Μαρία, χαῖρε πιστῶς σοι κραυγάζομεν, ἡ ζωὴν τετοκυῖαν, Χριστὸν τὸν φιλάνθρωπον.

Καταβασία. Παῖδας εὐαγεῖς.

Κανὼν πρῶτος. Ὠδὴ θ'. Ἅπας γηγενής.

Ἴασιν ἀεί, πηγάζουσιν ἅγιοι, ψυχῆς καὶ σώματος, ἐνεργείᾳ κρείττονι, ὑμῶν τὰ λείψανα τοῖς προστρέχουσι, καὶ ὁμοφώνως μέλπουσιν ὑμῶν τὴν ἄθλησιν, Ἀθλοφόροι, τοῦ Χριστοῦ τετράριθμοι, Ὀρθοδόξων λαμπρὰ καλλωπίσματα.

Μνήμην τὴν ὑμῶν, Γεώργιε ἔνδοξε, μάκαρ Νικόλαε, Ἀγγελῆ καὶ Μανουήλ, ὁ ναὸς οὗτος γεραίρει σήμερον, ἐν ᾧ μέρος μετήνεγκεν ἐκ τῶν λειψάνων ὑμῶν, ἐκ τῆς Κρήτης, πόθῳ ὑμῶν κρείττονι, κινηθεὶς ὁ θεόφρων Πρεσβύτερος.

Οἱ νεοφανεῖς, ὁπλῖται τοῦ Κτίσαντος, καὶ νεομάρτυρες, Μανουὴλ Γεώργιος, καὶ Ἀγγελῆς τε καὶ ὁ Νικόλαος, οἱ στῦλοι οἱ τετράριθμοι τῆς θείας πίστεως, τοὺς ἐν πίστει, ἡμᾶς μακαρίζοντας, πειρασμῶν ἐκλυτροῦσθε καὶ θλίψεων.

Θεοτοκίον.

Ὕψωσον ἡμῶν, καὶ νοῦν καὶ διάνοιαν, Παρθένε ἄχραντε, πρὸς ἀγάπην ἔνθεον, τοῦ προελθόντος ἐκ τῶν λαγόνων σου, καὶ τοῦ ἐχθροῦ κατάβαλε τὰ μηχανήματα, δι' ὧν Κόρη, τὴν ἡμῶν ἀπώλειαν, καθ' ἑκάστην πειρᾶται ὁ δόλιος.

Κανὼν δεύτερος. Ἐξέστη ἐπὶ τούτῳ.

Λεόντων συνεθλάσατε νοητῶν, κεφαλὰς Ἀθλοφόροι τετράριθμοι, τὰς κεφαλάς, ξίφει ὑποκλίναντες ἀνδρικῶς, καὶ τὴν σφαγὴν δεξάμενοι, ἐν ἀγαλλιάσει διὰ Χριστόν· διὸ ὑμῖν ἡ Κρήτη, καυχᾶται καὶ αἰτεῖται, τὴν προστασίαν ὑμῶν ἔνδοξοι.

Οἱ νέοι ἀθλοφόροι τοῦ Ἰησοῦ, Ἀγγελῆ ἀθλητὰ ἀγγελώνυμε, καὶ Μανουήλ, σὺν τῷ Γεωργίῳ τῷ εὐκλεεῖ, ὁ εὐσθενὴς Νικόλαος, ἄρατε τὰς χεῖρας πρὸς τὸν Θεόν, αἰτούμενοι εἰρήνην, τοῖς μέλπουσι ἐν ὕμνοις, τὴν σεβασμίαν ὑμῶν ἄθλησιν.

Ὑπέρτιμε χορεία συναθλητῶν, τῇ πατρίδι αἰτεῖται τὰ κρείττονα, παρὰ Θεοῦ, καὶ ἐκ τῶν λειψάνων ὑμῶν ἀεί, πηγάζετε τοῖς χρῄζουσι, χάριτος

www.tezaurliturgic.ro



τὰς ἄνωθεν δωρεάς· κἀμοὶ δὲ τῷ τοὺς ὕμνους, ὑμῖν πλέξαντι πόθῳ, προστάται φάνητε ἐν θλίψεσι.

Θεοτοκίον.

Ὑπέραγνε Μαρία Μῆτερ Θεοῦ, τῇ θερμῇ μου φωνῇ ἐπικάμφθητι, ὡς εὐμενής, καὶ ἀπὸ κινδύνων καὶ πειρασμῶν, ἀσθενειῶν τε θλίψεων, καὶ τῶν ἐπιθέσεων τοῦ ἐχθροῦ, διάσωσόν με Κόρη, ὅτι εἰς σὲ ἐλπίζω, μετὰ Θεὸν μόνην ὁ ἄθλιος.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Χορείαν τὴν τετράριθμον, συμφώνως εὐφημήσωμεν, τῶν νέων Χριστοῦ Μαρτύρων, βοῶντες ἀπὸ καρδίας· Γεώργιε Νικόλαε, καὶ Ἀγγελῆ καὶ Μανουήλ, ὡς παῤῥησίαν ἔχοντες, τὴν Παναγίαν Τριάδα, ὑπὲρ ἡμῶν δυσωπεῖτε.

Ἕτερον. Ὅμοιον.
Κυρίλλου Ἱερομονάχου.

Τὰ αἵματα κενώσαντες, Ἀγαρηνῶν ὠμότητι, τὰ πνεύματα τῷ Κυρίῳ, ἐδώκατε Ἀθλοφόροι, τῷ πλούτῳ ἀγαθότητος, Σταυρῷ αἷμα τὸ ἴδιον, διὰ βροτοὺς κενώσαντι, ὃν ἐκτενῶς δυσωπεῖτε, δοῦναι ἡμῖν τὴν εἰρήνην.

Θεοτοκίον.

Τὸν Λόγον τὸν Ὑπέρθεον, καὶ τῷ Πατρὶ συνάναρχον, καὶ Πνεύματι τῷ Ἁγίῳ, ὁμόθρονον Θεοτόκε, ἀπεριγράπτως τέξασα, φθορᾶς ἡμᾶς ἀπήλλαξας· διό σε μεγαλύνομεν, ὡς σωτηρίας αἰτίαν, οἱ διὰ σοῦ σεσωσμένοι.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τοὺς ἀθλητὰς τοῦ Κυρίου, καὶ νεομάρτυρας, φιλομαρτύρων δῆμοι, εὐφημήσωμεν πάντες, Γεώργιον Νικόλαον Ἀγγελῆν, Μανουὴλ τοὺς θεόφρονας· τὴν γὰρ Ἁγίαν Τριάδα διὰ παντός, δυσωποῦσιν ὑπὲρ πάντων ἡμῶν.

Φῶς οὐρανόθεν ὡρᾶτο, ἐν τοῖς λειψάνοις ὑμῶν, ὑποδηλοῦν τοῖς πᾶσιν, ἥνπερ εὕρατε δόξαν, Γεώργιε θεόφρον καὶ Ἀγγελῆ, Μανουὴλ καὶ Νικόλαε· καὶ νῦν φωτὶ τῶν σεπτῶν ὑμῶν πρεσβειῶν, πειρασμῶν σκότος διώξατε.

Ἀποτμηθέντες ἀνδρείως, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, ἐτέμετε τῆς πλάνης, πάντα σύνδεσμον ὄντως, Γεώργιε θεόφρον καὶ Ἀγγελῆ, Μανουὴλ καὶ Νικόλαε, καὶ ἠριθμήθητε δήμοις ἀγγελικοῖς, θείας δόξης ἀξιούμενοι.

Τοὺς ἑορτάζοντας πόθῳ ,ὑμῶν τὴν ἄθλησιν, καὶ ναὸν ὑμῖν θεῖον, ἀνεγείραντας πίστει, ῥύσασθε κινδύνων καὶ πειρασμῶν, Ἀθλοφόροι τετράριθμοι, καὶ ἐξαιτεῖσθε πταισμάτων τὸν ἱλασμόν, καὶ παθῶν τὴν ἀπολύτρωσιν.

Δόξα Πατρί. Ἦχος πλ. α'.

Ἀθλητικὴ πανήγυρις, ἐπέφανε σήμερον, συγκαλοῦσα ἡμᾶς, πρὸς μυστικὴν εὐφροσύνην· Ἀγγελῆς γὰρ καὶ Μανουήλ, Γεώργιος καὶ Νικόλαος, τὸν ἀόρατον ἐχθρὸν καταβαλόντες, μαρτυρικῇ ἐνστάσει, ἐν Χριστῷ ἠνδρίσαντο, καὶ ἐπαξίως ἐδοξάσθησαν. Αὐτοῖς οὖν βοήσωμεν· Νεομάρτυρες ἀήττητοι, Κρητῶν καλλωπίσματα, ἀδιαλείπτως πρεσβεύετε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων ἡ γ' καὶ στ' ᾠδή. Ἀπόστολον, ζήτει τῇ κζ' Κυριακῇ καὶ Εὐαγγέλιον, τῇ θ' Μαρτίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Τῶν νεομαρτύρων ἡ τετρακτύς, Ἀγγελῆς ὁ θεῖος, καὶ Γεώργιος Μανουήλ, σὺν τῷ Νικολάῳ,

www.tezaurliturgic.ro



ὑμνείσθωσαν συμφώνως, ὡς πρέσβεις καὶ μεσῖται, ἡμῶν πρὸς Κύριον.

Ἕτερον. Κυρίλλου Ἱερομονάχου.

Τοὺς ἐν τῇ Ρεθύμνῃ διὰ Χριστόν, ὡς ἀμνοὺς σφαγέντας, ἀπονοίᾳ Ἀγαρηνῶν, τέσσαρας τῶν πάλαι, Μαρτύρων συμπολίτας, ὑμνήσωμεν πρεσβείαις, αὐτῶν φρουρούμενοι.

Ἕτερον. Τοῦ αὐτοῦ.

Χαίροις ἀγγελώνυμε Ἀγγελῆ, Γεώργιε μάκαρ, καὶ στεῤῥότατε Μανουήλ, σὺν τῷ Νικολάῳ, τὰ θρέμματα Μελάμπων, Ρεθύμνης πολιοῦχοι, καὶ Κρήτης φύλακες.

Δίστιχον.

*Τετρακτὺς ὑπέρτιμε Νεομαρτύρων*
*Γερασίμου δέξασθε τὴν ὑμνῳδίαν.*